οὔτε γὰρ ἂν προκαμὼν ἄλλωι καμάτου μεταδοίης,
οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις.
οὐδ' εἰ γῆρας ἵκοιο τὰ χρήματα πάντ' ἀποδραίη·
ἐν δὲ τοιῶιδε γένει χρήματ' ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῆις, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι, κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

---

φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾶι χρήματα λειπόμενα.

---

παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
πάντές μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
χώρης εἴκουσιν τοί τε παλαιότεροι.
γηράσκων ⟨δ'⟩ ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

---

⊗ οὐ δύναμαι φωνῆι λίγ' ἀειδέμεν ὥσπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
ἐκλείπει σοφίης οὐκ ἐπιδευόμενος.

---

ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς
δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

---